## 46. Τῷ αὐτῷ

Ἤγειρας ἡμᾶς, οἷς ἐλάλησας· ἀνέστησας, οἷς ἐφώνησας. ὢ λόγος γλυκύς· ὢ γλῶσσα Χαρίτων γέμουσα· ὡς ἄρα σὺ μόνος ἐν τοῖς ἄρτι λαλεῖς, ὁποῖα φθέγξεται σοφὸς ἄνθρωπος. ἰδὼν μὲν τὴν γραφὴν τῆς σῆς ἁγιότητος, ἐπιμαρτυρέσθω μοι τοῖς λόγοις ὁ τῆς ἀληθείας θεός, καὶ τὸν τίτλον ταύτης περιελθών, ἐξελαθόμην τῆς ἀσθενείας, ᾗ με περιεκέχυτο. ὡς δὲ καὶ ἀνέπτυξα καὶ τοῦ ἀναγινώσκειν ἐγενόμην, ὅτι μὲν ἡ ἁγιωσύνη σου πράγμασι περιεστοιχίσθη, οὐ μάλα με ἐλύπησε· δύνασαι γὰρ θεοῦ χάριτι τῶν τοιούτων ἐλαφρότατα ὑπερπέτεσθαι· ὅτι δὲ ὑγιαίνειν ἔλαχες, τοῦτο εἰς ἐμὴν ἐλογισάμην ὑγίειαν· ὃ καὶ φυλάττοιτό σοι διὰ βίου εἰς κοινὸν ἀγαθόν. βραχὺ δὲ τῆς ἀναγνώσεως γενόμενος καὶ μηκέτ᾽ ἔχων διδόναι τοὺς ὀφθαλμοὺς τῷ γράμματι, οὕτω γάρ με ἡ νόσος διέθετο, εἶτα ἑτέρῳ δοὺς ὑποβάλλειν μοι τὰ τῆς ἐπιστολῆς, ὡς ἐγένετο ἐκεῖνος τῇ ἀναγνώσει περὶ τὰ Σέρβια, ἐνταῦθα καὶ ἀνωρθώθην τοῦ κεῖσθαι καὶ κατέχειν ἐμαυτὸν οὐκ εἶχον ὑφ᾽ ἡδονῆς. ὢ τῆς τῶν νοημάτων γλυκύτητος. σάλπιγξ μοι ὁ τόπος οὗτος ἐφάνη τοῦ γράμματος, κατὰ λόγον τῆς τελευταίας ἐκείνης ἀνιστῶσα με τῆς νεκρώσεως. εἰ δὲ καὶ σάλπιγγες κατὰ λόγον ἄλλον αἱ τοιαῦται τοῦ γράμματος ἔννοιαι, κατὰ τὰς τοῦ Ἰησοῦ, τὰς ἐπάλξεις τοῦ νοσήματος κατερείπουσαι, δώσεις μοι καὶ τοῦτο θαρρούντως εἰπεῖν, ὡς εἶναι διαταῦτα τὴν γραφὴν τῆς σῆς ἁγιότητος εἰς πτῶσιν τε καὶ ἀνάστασιν, ταύτην ἐμήν· ἐκείνην τοῦ ἀρρωστήματος. φυλάττοι θεὸς ἐπὶ χρόνους μακροὺς τὴν γλῶσσαν ταύτην καὶ τὸν ταύτης ἐπιστάτην νοῦν καὶ τὸν σύνολόν μου δεσπότην· τὴν ἀναπνοήν μου, τὴν παρηγορίαν, τὴν ἀναψυχήν, τὸν μόνον ἐμόν. ἀπαλλάττοι δὲ αὐτὸν ἀεὶ καὶ τῆς τῶν Κιμμέρων

---

**46.** **5-6** ἐπιμαρτυρέσθω - θεός: ad sermonem Graecum hodiernum admonet μάρτυς μου ὁ θεός **17-19** σάλπιξ - νεκρώσεως: cf. 1 Co. 15,52 ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι **19-21** σάλπιγγες - κατερείπουσαι: cf. Jos. 6,20 καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν ... καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος κύκλῳ **26** τὴν ἀναπνοήν - ἀναψυχήν: ad sermonem grandiloquem Graecum hodiernum admonet αὐτὸς εἶναι ἡ ἀναπνοή μου, ἡ παρηγοριά μου, ἡ χαρά μου **27-28** Κιμμέρων - γῆς: cf. Hom. Od. 11,13-16 ἡ δ᾽ ἐς πείραθ᾽ ἵκανε βαθυρρόου Ὠκεανοῖο. / ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε, / ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ᾽ αὐτοὺς / Ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν; de forma Κίμμεροι cf. Lycophr. Alex. 695

---

P 253v

---

**tit.** τῷ αὐτῷ P in marg. : με add. P[2] in marg. **20** ἔννοιαι Tafel : ἔνοιαι P

Σερβιωτῶν γῆς, ἀποκαθιστῶν εἰς τὴν Ἑλλαδικήν, τὴν ἡλιώδη, τὴν αἰθριάζουσαν· ὁδηγοίη δὲ καὶ μεμνῆσθαι ἡμῶν, ἵνα ὀψέ ποτε ὦμεν τοῖς καθαρῶς ζῶσιν ἀρίθμιοι. νῦν γὰρ ἡμεῖς οὐδὲ ἡμίβιοι, ὡς οὕτως εἰπεῖν. ἡ κλίνη μὲν γὰρ ἡμᾶς οὐκ ἀεὶ ἔχει, ἀλλὰ πρὸς ὥραν ταύτης ἀπαλλαττόμεθα· τὰ δὲ λοιπά, οἷα οἱ πόδες κατὰ τοὺς τῶν βρεφῶν ὀκλάζουσιν· οὐχ' ὅτι τὰ ἄνω βαρεῖς καὶ νανώδεις ἡμεῖς, ὡς ἐπιπίπτειν αὐτοῖς ἐκεῖθεν καὶ βιάζεσθαι τὴν ὑπένδοσιν· περιεπτίσμεθα γὰρ κατὰ τοὺς παρὰ τῷ κωμικῷ σφηκώδεις, καὶ – ὡς ἐκεῖνος καὶ τοῦτο λέγει – διὰ δακτυλίου ἂν ἑλκυσθείημεν· ἀλλ' ὅτι ἀνεῖνται τὰ νεῦρα καὶ ὁ φυσικὸς ἐξητόνησε σύνδεσμος. ὁ στόμαχος οὔτε τῇ φυσικῇ ταμιουχίᾳ στέργει, ἀλλ' ἀναβάλλειν ἐθέλει τὰ ἐντιθέμενα· κἂν στέρξῃ, παρενοχλεῖ καὶ ὀδύνας ἄγει· καὶ χεῖρον τοῦτο δοκεῖ ποιεῖν ἐκείνου τοῦ κακοῦ. αἱ χεῖρες – γελάσειες ἄν, γλυκύτατε δέσποτα, ἰδὼν ὅπως ὑπότρομοι γραφὰς ὑποσημαίνονται, δεῆσαν ποτέ· οὐδ' ἂν παῖς ἀναλφάβητος παίζων γραφίδι καὶ μέλανι τοιαύτας ἀνάγῃ γραφὰς ἐμοί. ἡ κεφαλὴ – συνέπεσέ τι μικροῦ τινὸς λόγου ἄξιον καὶ ἀνέστρεψεν ἅπαν τὸ ὑποκείμενον· λόγου γὰρ ἀκοῦσαι σπουδαίου καὶ περινοίας δεομένου, ἢ βιβλίον χειρίσασθαι, ἢ ἑτέρου τοῦτο ποιοῦντος ἀνέξεσθαι, τοσοῦτον ἀποδέομεν ὅσον καὶ οἱ τοῦ ἀγροῦ. τί οὖν ζῶμεν, ἅγιε δέσποτα; τὸ μεῖζον ἡμῖν πάντων τῶν κακῶν· τρεῖς ἰδοὺ σχεδὸν μῆνες καὶ ὁ Μυροβλύτης ἄποπτος ἡμῖν. καὶ οἱ μὲν ἄλλοι πάντες τῆς εὐωδίας ἐκείνου καταπολαύουσιν, ἡμεῖς δὲ δεδιώγμεθα, χοῖροι πάντως βορβόρου ἄξιοι. εὔχου ἡμῖν, ἅγιε δέσποτα, ἀπαλλαγὴν τῶν παρόντων κακῶν, ἢ γοῦν ἀλλὰ τὴν ἑτέραν ἀπαλλαγήν. χάριτι μὲν γὰρ ἡμῖν ἡ προτέρα· εἰ δὲ κίνδυνος εἴη οὕτω ζῆν, εὐκταῖον πρᾶγμα καὶ ἡ λοιπή.

---

**35** σφηκώδεις: cf. Aristoph. Plut. 561 ἰσχνοὶ καὶ σφηκώδεις **36** διὰ-ἑλκυσθείημεν: proverbium ex Aristoph. Plut. 1036 διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις; cf. CPG suppl. 311

---

**43** ἐμοί scripsi : compendiose P : μου Tafel

# Die Briefe des Eustathios von Thessalonike

## Einleitung, Regesten, Text, Indizes

Von
Foteini Kolovou

K · G · Saur München · Leipzig 2006